ἐπιθυμοῦντες ἐν ταῖς πόλεσι τιμᾶσθαί τε καὶ ἄρχειν,
ἵνα ἐξουσίαν ἔχωσι χρήματά τε κλέπτειν καὶ ἀνθρώ-
πους βιάζεσθαι καὶ ἡδυπαθεῖν, ἄδικοί τε καὶ πονηροὶ
ἂν εἶεν καὶ ἀδύνατοι ἄλλῳ συναρμόσαι· εἰ δέ τις ἐν 25
πόλει τιμᾶσθαι βουλόμενος, ὅπως αὐτός τε μὴ ἀδι-
κῆται, καὶ τοῖς φίλοις τὰ δίκαια βοηθεῖν δύνηται,
καὶ ἄρξας ἀγαθόν τι ποιεῖν τὴν πατρίδα πειρᾶται,
διὰ τί ὁ τοιοῦτος ἄλλῳ τοιούτῳ οὐκ ἂν δύναιτο συναρ-
μόσαι; πότερον τοὺς φίλους ὠφελεῖν μετὰ τῶν καλῶν
κἀγαθῶν ἧττον δυνήσεται, ἢ τὴν πόλιν εὐεργετεῖν
ἀδυνατώτερος ἔσται, καλοὺς τε κἀγαθοὺς ἔχων συνερ-
γούς; Ἀλλὰ καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσι δῆλόν 26
ἐστιν, ὅτι, εἰ ἐξῆν τοῖς κρατίστοις συνθεμένους ἐπὶ
τοὺς χείρους ἰέναι, πάντας ἂν τοὺς ἀγῶνας οὗτοι ἐνίκων,
καὶ πάντα τὰ ἆθλα οὗτοι ἐλάμβανον. ἐπεὶ οὖν ἐκεῖ
μὲν οὐκ ἐῶσι τοῦτο ποιεῖν, ἐν δὲ τοῖς πολιτικοῖς, ἐν οἷς
οἱ καλοὶ κἀγαθοὶ κρατιστεύουσιν, οὐδεὶς κωλύει, μεθ'
οὗ ἄν τις βούληται, τὴν πόλιν εὐεργετεῖν· πῶς οὖν οὐ λυ-
σιτελεῖ τοὺς βελτίστους φίλους κτησάμενον πολιτεύε-
σθαι, τούτοις κοινωνοῖς καὶ συνεργοῖς τῶν πράξεων
μᾶλλον ἢ ἀνταγωνισταῖς χρώμενον; Ἀλλὰ μὴν 27
κἀκεῖνο δῆλον, ὅτι, κἂν πολεμῇ τις τινὶ, συμμάχων
δεή-

ἀδύνατοι ἄλλῳ] Edwards diuinat legend. ἄλλῳ τῳ.

§. 25. βουλόμενος] Scil. ἐστὶ. Participium loco verbi pro βούλεται. vid. ad II, 1, 23.

αὐτός τε] Pro τε legitimo est in edd. vett. τι.

τὰ δίκαια] Scil. κατὰ, περὶ, *in rebus iustis.*

ἄρξας] *In magistratu.*

§. 26. δῆλόν] Edd. vett. et Parif. δῆλός, vitiose.

συνθεμένους] Videri possit alicui scribendum συνθεμένοις, quod legitima ratio desiderat. Sed libenter cum ἔξεστι coniungunt participium in accusatiuo Attici eorumque imitatores. v. Duker. ad Thuc. IV, 2: Lucian. in Electr. c. 2: οἷς ἔξεστι πλουτεῖν διαλέγοντας. Simile est apud nostrum III, 11, pr. ἰτέον ἂν εἴη θεασαμένους pro θεασαμένοις. *Ern.* Plura exempla Xenophontea vid. ad Cyrop. II, 1, 15.

ἐπεὶ οὖν ἐκεῖ μὲν] Sic recte edd. Ald., Parif., Steph. et Bessar. cum Codd. Vatic. et Flor. Sed in Iunt. est tantum ἐπεὶ μὲν, pro quo in aliis codd. reperiri testatur Brodaeus ἀλλὰ μὲν.

ἐῶσι] Scil. οἱ κριταὶ, seu ἀθλοθέται.

τοὺς βελτίστους] Ante τοὺς vsus loquendi poscit τὸν.